


## Σάββατον μετὰ τὰ Φῶτα
## Ἰανουαρίου Ζ΄- ΙΓ΄

### Μεθέορτα Φώτων

**Ἀπολυτίκιον.** Ἦχος α΄.

Ἐν Ἰορδάνῃ βαπτιζομένου Σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει Σοι, ἀγαπητόν Σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ Λόγου τὸ ἀσφαλές. Ὁ ἐπισφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα Σοι.

**Κοντάκιον.**

Ἦχος δ΄. Αὐτόμελον.

Ἐπεφάνης σήμερον, τῇ οἰκουμένῃ, καὶ τὸ φῶς Σου Κύριε, ἐσημειώθη ἐφ᾽ ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς Σε. Ἦλθες, ἐφάνης, τὸ Φῶς τὸ ἀπρόσιτον.

* * *

### Ἡ Ἀνάμνησις τῆς ἐπὶ τοῦ Σαρανταρίου ὄρους τεσσαρακονθημέρου νηστείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ εν αὐτῷ πειρασμοῦ*

**Ἀπολυτίκιον.**

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.



Τῶν ἀνθρώπων φορέσας, τὴν πτωχείαν ὡς Εὔσπλαγχνος, πάντα δι᾽ ἡμᾶς κατεδέξω, Ἰησοῦ παντοδύναμε· διὸ ἐν τῇ ἐρήμῳ ἀναχθείς, νηστείαν ἐξετέλεσας μακράν, μεθ᾽ ἣν ᾔσχυνας κακίας τὸν ἀρχηγόν, δολίως πειράζοντά Σε. Δόξα τῇ ἀγαθότητι τῇ Σῇ, δόξα τῇ εὐσπλαγχνίᾳ Σου, δόξα τῇ ἀνεκφράστῳ πρὸς ἡμᾶς, συγκαταβάσει Σου.

**Κοντάκιον.**

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Βαπτισθεὶς ὁ Κύριος, ἐν ποταμῷ Ἰορδάνῃ, ἐν Ἁγίῳ Πνεύματι, ἐν τῇ ἐρήμῳ ἀνήχθη, ἔνθα δή, μετὰ νηστείαν μακρὰν αἰσχύνας, ἅπασαν, τοῦ ἐκπειράζοντος τὴν κακίαν, παρ᾽ Ἀγγέλων ἐδοξάσθη, Δεσπότης ὥσπερ, καὶ Βασιλεὺς καὶ Θεός.

**Μεγαλυνάριον.**

Τεσσαρακονθήμερον ὁ Σωτήρ, ἤνυσας νηστείαν, οἷα ἄνθρωπος ἀληθής, μεθ᾽ ἣν τὸν δυνάστην, κατῄσχυνας τοὺς λίθους, αἰτήσαντα γενέσθαι, ἄρτους Φιλάνθρωπε.

**Στίχοι.**

Ἅπαξ δὶς Σῶτερ καὶ τρὶς ἐχθρὸν αἰσχύνεις
Νηστεύσας ὡς ἄνθρωπος ἐν τῇ ἐρήμῳ.
Ὀγδόῃ Χριστὸν δοξάζομεν πάντων Σωτῆρα.

* * *

# Συναξάριον

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ μετὰ τὰ Φῶτα, Ἀνάμνησιν ἐπιτελοῦμεν τῆς ἐπὶ τοῦ Σαρανταρίου ὄρους τεσσαρακονθημέρου νηστείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἐν αὐτῷ τρισσοῦ πειρασμοῦ.

Ἐπειδὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς ἄνθρωπος πάντα πρὸς διδασκαλίαν τῶν ἀνθρώπων καὶ ἔπραττε καὶ ὑπέμενεν, ἐκδίδωσιν Ἑαυτὸν μετὰ τὸ Βάπτισμα τῷ Ἁγίῳ Πνεύματι καὶ ὑπ᾽ αὐτοῦ ἄγεται, πρὸς ὃ ἂν ἐκεῖνο κελεύῃ καὶ ἀνάγεται εἰς τὴν ἔρημον, ἐπὶ τὸ πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

Νηστεύσας δὲ τεσσαράκοντα ἡμέρας, ὕστερον ἐπείνασε, βεβαιῶν, ὅτι ἄνθρωπός ἐστιν, ἴδιον γὰρ ἀνθρώποις τὸ ἐκ νηστείας πεινᾶσαι.

Διὸ καὶ προσελθὼν Αὐτῷ ὁ πειράζων διάβολος, ἅπαξ καὶ δὶς καὶ τρὶς προσέβαλεν Αὐτὸν τοῖς πειρασμοῖς τῆς γαστριμαργίας, τῆς κενοδοξίας καὶ τῆς φιλαργυρίας· οὐδὲν δὲ κατορθώσας, ἐπιτιμηθεὶς ὁ πανοῦργος ἀπέστη ἀπ᾽ Αὐτοῦ διὰ τοῦ λόγου *Ὕπαγε ὀπίσω μου Σατανᾶ.*



Μετὰ δὲ ταῦτα Ἄγγελοι προσῆλθον διακονοῦντες τῷ Σωτῆρι, ὡς ἀκριβῶς

ὁ θεηγόρος Εὐαγγελιστὴς Ματθαῖος ἐν τῷ Εὐαγγελίῳ ἐξιστόρησεν.

**Α**ὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν!

---

**(*)** **Ἐ**κ τῆς Ἀκολουθίας, ποίημα τοῦ Ἀρχιμανδρίτου Κυρίλλου Κογεράκη, Πρωτοσυγκέλλου τῆς ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κρήτης.

❖

